21734.

# ΕΙΣ ΤΗΝ

# ΤΗΣ ΕΝ ΔΟΡΠΑΤΩΙ

# ΚΑΙΣΑΡΕΙΑΣ ΑΚΑΔΗΜΙΑΣ

# ΠΕΝΤΕΚΑΙΕΙΚΟΣΙΕΤΙΝ ΕΟΡΤΗΝ

ΤΗΝ

ΕΤΟΥΣ ΑΩΚΖ ΜΗΝΟΣ ΔΕΚΕΜΒΡΙΟΥ ΔΩΔΕΚΑΤΗΙ ΑΧΘΕΙΣΑΝ

ΙΩ. ΟΥΑΛ. ΦΡΑΝΚΙΟΥ

ΩΙΔΗ ΔΩΡΙΚΗ.

ΕΤΥΠΟΓΡΑΦΗΘΗ ΕΝ ΔΟΡΠΑΤΩΙ

ΤΟΙΣ ΑΚΑΔΗΜΙΚΟΙΣ ΤΥΠΟΙΣ ΤΟΙΣ Ι. Χ. ΣΧΥΝΜΑΝΝΟΥ.

Κατὰ τὰ δόξαντα τῇ βουλῇ τῇ ἀκαδημικῇ.

Ἐν Δορπάτῳ, ἔτους ͵αωκζ, μηνὸς Δεκεμβρίου τρίτῃ

Γουστάβιος Εὐέρσιος,
βουλευτὴς πολιτικὸς καὶ ἱππεύς, ἄρχων τῆς ἀκαδημίας.

D 13247

Εὖγ', εὐφραινόμενοι πάντες ἐφίμερον
ἀσπάζεσθε, νέοι πρεσβύτεροί θ' ὁμῶς,
Μοισᾶν ὦ θεράποντες,
ἆμαρ γαθοσύνας πλέον!

Νῦν χρὴ τερπομένους ἐν θαλίαις, φίλοι,
φόρμιγγος λιγυρᾶς φθόγγον ἐπαΐειν·
ἔστακεν γὰρ ἀμεμφὴς
ἤδη πεντάκι πέντ' ἔτη

ἁμὰ μειλιχιᾶν Πιερίδων ἕδρα,
καλλίστοις σοφίας ἄνθεσιν ἐκπρεπὴς
πάσας. Τοιγάρ, ἑταῖροι,
εὐοῖ κλάζετε σάμερον!

Πρὶν μὲν λευγαλέαι Περναβίανδ' ἔβαν,
οὐδ' αὖτ' ἔνθα μένον, Κασταλίδες θεαί,
λυπηροὺς προλιποῖσαι
Δορπάτου τὸ πάλαι δόμους·

αὐτὰρ κλεινὸν ἔφυ καλλιπνόων ἕδος
αὖτις Θεσπιάδων ἁμετέρα πόλις,
ἐξ οὗ δὴ κάσις ἁγνοῦ
τοῦ νῦν Καίσαρος εὐμενής,

αὐτὸς παντοκράτωρ σεμνὸς ἐὼν τότε,
καινὰν θῆκε, φέρων δῶρ' ἀπερείσια,
ἦ μὰν πρόφρονι θυμῷ
ταύταν ταῖσι θεαῖς χθόνα.

Τᾷδ' οὗτος φύλακας στᾶσ' ἀριδεικέτους
ἔργοισίν τε λόγοις τ', ἄνδρας ἀμύμονας,
οἵπερ φροντίδ' ἔχοισιν
αὐτᾶς ἔμπεδον. Ἐνθάδ' ὦν

εὐθὺς γνωμονικοὶ θεσπεσίων λόγων
ἄνδρες καὶ φυσικῶν εὐνομίας τ' ἔτι,
καὶ μὰν μνάμονες ἔργων,
ἰατροί τε πολυστόνων

νούσων, ἐνθάδ' ὅλως ἀνέρες εἰς ἄκρον
ἐλθόντες σοφίας παντοδαπᾶς μάλα
γενναῖοί τ' ἐγένοντο
κεδνοί θ' ἁγεμόνες νέων

πολλῶν καὶ πινυτῶν. Τοὶ δὲ δαήμονες
ἔνθεν πάντοσε γᾶς ἔκφερον ἀγλαὸν
σπουδᾶς καρπὸν ἔφαβοι
παιδείας τε διαμπερές.

Ὣς δ' αὔτως ἔτι καὶ τέρμα μαθήσιος
ζατέωμεν τελέας οἱ προγενέστεροι·
οἱ δ' αὖθ' ὁπλότεροι σὺν
ἄμμιν σπεύδετε σώφρονες.

Καὶ λίαν ἔτι καὶ νῦν γ' ἄρα ΝΙΚΟΛΑΣ
Δόρπατον φιλέει, κοίρανος ὑψίφρων ,
ὃς σώσει καὶ ὀπίσσω
ταῖς Μοίσαις κλέος ἄφθιτον.

Ἄκρατον μέθυ, παῖ, ἔγχε' ἀφειδέως,
εὐοῖ, καρπαλίμως! Εὐξάμενοι τὸ πρὶν
ὄλβον πάντα, πρὸς αὐλῶν
σαλπίγγων τ' ἐνοπὰν ἁμᾶ

δειδίσκεσθ'! Ἄγε δή, κέκλυτέ μευ, φίλοι!
Ζώοι ζωοδοτὴρ πλεῖστον ἔτι χρόνον
ἄμμιν Καῖσαρ ἀγαστός·
ζώοι μοισοπόλων γένος!

---